# Ιερά Παράκληση




Με πατρική αγάπη και Ευλογίες

eulogies.gr/parakliseis

*†Εορτάζεται στις 29 Μαΐου*

**Εὐλογήσαντος τοῦ ἱερέως** ἀρχόμεθα ἀναγινώσκοντες τὸν **ΡΜΒ΄ (142) Ψαλμόν.**

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοί ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου· ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου· τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμι.

*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

*Στίχος α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.*

*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

*Στίχος β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τὸ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

*Στίχος γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Καὶ τὰ ἑξῆς·

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Καθυπομένειν ζοφερᾶς ἀλγηδόνας καὶ τὰς τοῦ βίου κατωδύνους βασάνους ἀξίωσον τοὺς σπεύδοντας τῇ σῇ ἀρωγή, Μῆτερ εὐσυμπάθητε, βασιλὶς πανόλβια, καὶ Ὁσίων καύχημα, ἵνα πόθῳ βοῶμεν· Ὑπομονή, πρὸς Κτίστην καὶ Θεὸν ὑπάρχεις πάντων ἀνύστακτος πρέσβειρα.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.***

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

## Ὁ Ψαλμὸς Ν΄(50)

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἐλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ’ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἂν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ· τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν

καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Καὶ ὁ Κανών

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.**

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Ὑπόδειγμα δεῖξον ὑπομονῆς, ἐν ταῖς καταιγίσι, τὴν προσκαίρου μου βιοτῆς, κραυγάζω σοὶ Μῆτερ πανόλβια, Ὑπομονή, βασιλίδων ὡράισμα.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Πατρίδα λιποῦσα Ὑπομονή, τὴν βρότειον ἤρθης, πρὸς τὴν ἄνω περιχαρῶς, πρὸς ἥν καταξίωσον λιταῖς σου, κἀμὲ ἀρθῆναι τὸν πόθῳ τιμῶντά σε.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***

Ὁσίων ἀγλάισμα γυναικών, κοσμήσασα ἔργοις, εὐποιίας τῆς σὴν ψυχήν, καὶ πόνοις ἀσκήσεως στεφάνους, Ὑπομονὴ ἀφθαρσίας ἀπείληφας.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***

Μαρία τῆς χάριτος καθαρόν, δοχεῖον δυσώπει, τὸν Υἱόν σου καὶ Λυτρωτήν, ἡμῶν θεραπεῦσαι ἀλγηδόνας, τὰς ζοφερᾶς τῆς καρδίας δεόμεθα.

**Ὠδὴ γ΄. Οὐρανίας ἀψῖδος.**

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Ὁ σεπτός σου Νυμφίος Ὑπομονὴ ἄνασσα, ἐν τῷ οὐρανίῳ

νυμφῶνι, ὑποδεχόμενος, σὲ μεσιτεύειν ἀεί, ὑπὲρ ἡμῶν τῶν ἐν ὕμνοις, μελιχροῖς τιμώντων σε, χάριν σοὶ δέδωκε.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***
Νυχθημέροις ἀγῶσι καὶ προσευχαῖς εἵλκυσας, τὴν τοῦ θείου Πνεύματος χάριν, εὐαρεστήσασα, Ὑπομονὴ τῷ Θεῷ, ᾧ νῦν πρεσβεύεις ἀπαύστως, δοῦναι τοῖς τιμῶσί σε χάριν καὶ ἔλεος.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Ἡ Τριὰς ἡ ἁγία Ὑπομονὴ ἔδειξε, σὲ τὴν βασιλείας προσκαίρου, πλούτη μισήσασαν, πολῖτιν τῶν οὐρανῶν, καὶ θείαν πρέσβειραν πάντων, τῶν ἀνευφημούντων σὲ ὡς ὄλβον πίστεως.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Σῶσαι θέλων τὸν κόσμον ὁ τοῦ παντὸς Κύριος, ἔλαβεν ἐκ τῶν σῶν αἱμάτων τὴν βρότειον, Θεοκυῆτος ἁγνή, καὶ πρὸς θεώσεως σφαίρας, γένος τὸ ἀνθρώπινον ἅπαν ἀνύψωσε.

**Διάσωσον**, Ὑπομονὴ μακαρία, τοὺς σὲ ὑμνοῦντας καὶ δοχεῖα ὑπομονῆς, ἀναδεῖξον πάγχρυσα, αὐτοὺς ἐν τοῦ βίου ταῖς τρικυμίαις.

**Ἐπίβλεψον**, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

## *Αἴτησις καὶ τὸ Κάθισμα.*
## Ἦχος β΄. Πρεσβεία θερμή.

Ὁσίων λαμπτὴρ μητέρων φαεινότατε, ταῖς σαῖς πρὸς Θεὸν πρεσβείαις καταφεύγομεν ἐκτενῶς κραυγάζοντες· δεινὰ ὑπομένειν τοξεύματα, Ὑπομονή, ἀξίωσον ἐχθροῦ ἀεὶ τοῦ ζητοῦντος σπαράξαι με.

## Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Πενομένων βοήθεια καὶ ἀδικουμένων ὀφθεῖσα στήριγμα, Βασιλὶς γενοῦ ἀκλόνητον, ἐν ταῖς βίου ῥάχαις μάχαις πάντων στήριγμα.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Λοιμικὰ ἀῤῥωστήματα δίωξον εὐχαῖς σου ἐκ τῶν τιμώντων σε, καὶ ὑγίειαν πᾶσι βράβευσον, σὲ Ὑπομονὴ τοῖς μακαρίζουσιν.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***

Ἡ τιμία ἐπίκλησις, τοῦ ὀνόματος σου ἡδύνει ἅπαντάς, τοὺς ἐν κλίνῃ ἀσθενήματος, νῦν Ὑπομονὴ κειμένους ἔνδοξε.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***

Ῥαίνομεν σὲ ἑκάστοτε, μύροις ἐφυμνίων Θεογεννήτρια, ὅτι χάριτι ἐσώθημεν, ἐκ φθορᾶς ἡμεῖς διὰ τοῦ τόκου σου.

## Ὠδὴ ε΄. Φώτισον ἡμᾶς

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Ὤφθης φωτεινός, λύχνος ἄκρας ταπεινώσεως, ἵνα δείξῃς τοῖς πιστοῖς Ὑπομονή, ἀτραποὺς τῆς σωτηρίου ταπεινώσεως.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Στῦλε ἀκλινής, φιλοπτώχου ἀντιλήψεως, βασιλὶς Ὑπομονὴ τοὺς σὲ λαμπρῶς, εὐφημοῦντας ἐν ἀγάπης βάθρῳ στήριξον.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***

Ὅλη φωταυγής, τῷ Νυμφίῳ σου παρίστασαι, καὶ πρεσβεύεις τῷ Χριστῷ Ὑπομονῇ, ὑπὲρ πάντων, ἀνυμνούντων σου τὴν ἄσκησιν.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.***

Νεῦσον ταῖς ἡμῶν, παρακλήσεσι Παντάνασσα, καὶ κατάπαυσον τὸν πόλεμον σαρκός, τὸν κατώδυνον, βοῶ σοι ὁ τρισδύστηνος.

## Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Ὑμνοῦμέν σε, ἑαυτὴν τὴν τήξασαν, ὡς κηρὸν ἀσκητικὴ πολιτεία, Ὑπομονὴ βασιλὶς καὶ πτωχείαν, τοῦ Ἰησοῦ ὁλοθύμως ποθήσασαν, ἵνα τὸν πλοῦτον οὐρανῶν, ὑποδείξῃς ἡμῖν τὸν ἀδάπανον.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***
Παράσχου μοι, μετανοίας δάκρυα, καὶ σταγόνας ὄμβρισόν μοι ἐν βίῳ, ὑπομονῆς καθαιρούσας τοῦ ἄγχους, καὶ μεριμνῶν τὸ ῥυπῶδες ἱμάτιον, Ὑπομονὴ ψυχῆς ἐμῆς, πρὸς Θεὸν ὡς νεφέλη ἐντεύξεων.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Ὁδήγησον, εἰς ὁδὸν ἀνάγουσαν, πρὸς ζωὴν ἐν οὐρανοῖς τὴν ἀγήρω, Ὑπομονὴ τὸν προσφεύγοντα πόθῳ, τῇ χάριτί σου Ὁσίῳν ὡράισμα, καὶ ἀλκιφρόνων γυναικῶν, στηλογράφημα ἔμπνουν βασίλισσα.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Μητρόθεε, τὰ ῥοὰς ἀπόσμηξον, τῶν ἀπείρων μου δακρύων εὐχῶν σου, τῶν ἀσιγήτων πρὸς Κύριον μάκτρῳ, καὶ σὸν Υἱὸν χαρμονῆς ἀνατελοῦσα, καμοὶ φωτόλαμπρον αὐγήν, ἵνα πόθῳ ἀεὶ μακαρίζω σε.

**Διάσωσον**, Ὑπομονὴ μακαρία, τοὺς σὲ ὑμνοῦντας, καὶ δοχεῖα ὑπομονής, ἀναδεῖξον πάγχρυσα, αὐτοὺς ἐν τοῦ βίου ταῖς τρικυμίαις.

**Ἄχραντε**, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

## ***Αἴτησις καὶ τὸ Κοντάκιον***
**Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν**

Ταῖς ἀόκνοις πρὸς τὸν Ἰησοῦν τὸν εὐίλατον, σαῖς εὐχαῖς βασιλὶς εὐκλεὲς κατεφεύγοντες, ἐκβοῶμεν· Ὑπομονή, ὁσίων

γυναικῶν καλλονὴ μὴ παύσῃ ἐκτενῶς ὑπὲρ πασχόντων ἀλγεινῶς, δεομένη τοῦ Κτίσαντος, τηρεῖ οὖν ἐν ὑγιεία, τοὺς ὕμνοις σὲ εὐφημοῦντας, καὶ ἀσιγήτως ἀγλαή, αἰτουμένους σου τὴν εὔνοιαν.

***Προκείμενον.***

*Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοί.*

*Στίχος. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*

**Εὐαγγέλιον.**

**Ἐκ τοῦ κατὰ Μᾶρκον.**

**(Κεφ. η΄ 34 – θ΄ 1).**

**Εἶπεν ὁ Κύριος· ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ᾽ ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. Τί γὰρ ὠφελήσει ἄνθρωπον ἐὰν κερδήσῃ τὸν κόσμον ὅλον, καὶ ζημιωθῇ τὴν ψυχὴν αὐτοῦ; Ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ; Ὃς γὰρ ἐὰν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. Καὶ ἔλεγεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι εἰσί τινες τῶν ὧδε ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν ἐν δυνάμει.**

*Δόξα.*
*Ταῖς τῆς σῆς Ὁσίας πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.*

*Καὶ νῦν.*
*Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.*

*Στίχος. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

**Προσόμοιον.**
**Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.**

Εὔκλειαν βασίλειον, ἀποθεμένη ἀζύγων, τὴν στενὴν καὶ δύσβατον, τρῖβον ἐπεπόθησας καρτερώτατα, θαυμαστὴ ἄνασσα, Βασιλίδος ἄνασσα, Βασιλίδος κλέος, διανύσαι καὶ ἀρχέτυπον γενέσθαι νήψεως καὶ ὑπομονῆς ὅθεν κράζομεν βίου ὑπομένειν τὰς θλίψεις ἀκλινῶς, Ὑπομονή, καὶ δυσπραγίας ἀξίωσον τοὺς πιστῶς τιμῶντάς σε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου …..

**Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.**

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***
Ὀρθρινὸς ὤφθης Μῆτερ, ἀρετῶν ὥσπερ ἄλλος παντοίων ἥλιος, ἐν Βασιλίδι πάντας, φωτίζουσα καὶ ζόφον, τῆς κακίας διώκουσα, Ὑπομονή, παμφαὲς τῆς βιοτῆς μου φάρε.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Νοσημάτων πραΰνεις, ἀλγηδόνας εὐχαῖς σου πρὸς τὸν Παντάνακτα, Ὑπομονὴ καὶ ῥῶσιν, παρέχεις τοῖς ὑμνοῦσι, τὰ σεπτά σου παλαίσματα, καὶ τὴν τοῖς πᾶσι γνωστὴν εὐγένειαν ψυχῆς σου.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***

Ἡ Μονὴ τοῦ ὁσίου Παταπίου τιμῶσα τὴν θείαν μνήμην σου, πρὸς μίμησιν καμάτων, τῶν θείων σου προτρέπεις, τοὺς πιστοὺς παντευλόγητε, Ὑπομονή ἐκλεκτή, τοῦ Ζωοδότου νύμφη.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***

Χοϊκῶν γένος ἅπαν, μακαρίζει σὲ Κόρη Θεογεννήτρια, ὡς πρόξενον ἀφθίτου, χαρᾶς τὲ εὐφροσύνης, αἰωνίου καὶ στήριγμα, ἐν συμφοραῖς χαλεπαῖς, ἑδραῖον Παναγία.

## Ὠδὴ η΄. Τὸν βασιλέα.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Ἀφθάρτου δόξης, ἀξιωθεῖσα ἐν πόλῳ, καὶ συγχαίρουσα δήμοις Ὁσίων, πρέσβευε δοθῆναι, ἡμῖν πταισμάτων λύσιν.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***

Ῥεόντων ὤφθης, Ὑπομονὴ ὑπερτέρα, καὶ βασίλειον πλοῦτον παρεῖδες, ἵνα τὴν πτωχείαν, Χριστοῦ διδάξῃς πᾶσιν.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***

Ἀδειαλείπτου, εὐχῆς ἐγνώσθης βιβλίον, χρυσοτύπωτον μῆτερ Ἁγία, ὅθεν χάριν εὗρες, ὑπὲρ ἡμῶν πρεσβεύειν.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Λειμῶν ἁγνείας, Θεοχαρίτωτε Κόρη, τοὺς ἱκέτας σου ἅγνιζε πάντας, σὲ τοὺς ἀνυμνοῦντας, ἐκ ψυχοφθόρου ῥύπου.

## Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

**Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν**
Ἀνάστησόν με οἴμοι, τὸν νενεκρωμένον, Ὑπομονή ἁμαρτίαις ἱκέτην σου, ἵνα ἐν χώρᾳ τῶν ζώντων, σὺν σοὶ ἀγάλλωμαι.

***Ἁγία τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν***
Μιμήσασθαι τοὺς πόνους, τῆς ἀσκητικῆς σου, Ὑπομονὴ πολιτείας ἀξίωσον, μοναζουσῶν τὴν χορείαν, τὴν εὐφημοῦσάν σε.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι***
Πολλὴν παρὰ Κυρίῳ, κεκτημένη χάριν, Ὑπομονὴ ὡς ὁσίων ἀγλάισμα, ὑπὲρ ἡμῶν ἐκδυσώπει, Αὐτὸν ἑκάστοτε.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Ἡγιασμένη Μῆτερ, τοῦ Παμβασιλέως, Χριστοῦ πρὸς θρόνον Αὐτοῦ τὸν ὑπέρφωτον, τοὺς σὲ τιμῶντας ἀπαύστως, ἐν βίῳ ἕλκυσον.

**Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σὲ τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.**

**Τὴν τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.**

**Καὶ τὰ παρόντα Μεγαλυνάρια˙**

**Ἄνθος μυροβόλου ὑπομονῆς, κατευφραῖνον δῆμον, τῶν μερόπων ἐπὶ τῆς γῆς, καὶ χορὸν Ἀγγέλων ἐν οὐρανίοις δόμοις, Ὑπομονὴ ἐπώφθης, ἔνθεε ἄνασσα.**
**Ἔχειν ἐστραμμένον πρὸς τὸν Θεόν, τῆς ψυχῆς τὸ ὄμμα, καὶ τοῦ βίου τὰς συμφορᾶς, ὑπομένειν Μῆτερ, καλῶς ἀξίωσόν με, Ὑπομονὴ θεόφρον, σὲ τὸν γεραίροντα.**

**Ἐπικαλουμένους πανευλαβῶς, ὄνομα τὸ θεῖον, καὶ σεπτόν σου Ὑπομονή, βασιλὶς θεόφρον, ἀπήμονας συντήρει, καὶ τὰς αὐτῶν αἰτήσεις, πλήρου ἑκάστοτε.**

**Πράξεσιν ἐκλάμπουσα ἀγαθοῖς, ἤρθης πρὸς τὰ ὕψη, οὐρανίων θεωριῶν, Κωνσταντίνου μῆτερ, ἐσχάτου Βασιλέως, Ὑπομονὴ τοῦ θείου πίστεως μάρτυρος.**

**Ἔχει τὴν εἰκόνα σου ὁ Ναός, τοῦ Ἀθανασίου, τοῦ Μεγάλου ὡς τιμαλφῆ, ὄλβον ἐν Θησείῳ, Ὑπομονὴ Ὁσία, ἣν πάντες προσκυνοῦντές σε μακαρίζομεν.**

**Χαίροις, ἐκμαγεῖον ὑπομονῆς, στήλη σωφροσύνης, ἀδιάσειστον ἀρετῶν, τεῖχος καὶ ταμεῖον, Ὑπομονὴ ἀγάπης, ἐνθέων βασιλίδων, κέρας περίδοξον.**

**Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.**

## Τὸ Τρισάγιον

Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι,
καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι,***
***καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.***

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

*Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ*
*τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

## *Καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

***Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι,***
Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου, πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

***Καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν***
Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσομεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων, σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Καὶ τὸ **Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

**Τὴν κλεινὴν βασιλίδα ἐγκωμιάσωμεν, Ὑπομονὴν τὴν ὁσίαν, περιστερὰν εὐλαβῆ, ἐκ τοῦ κόσμου πετασθεῖσαν τῆς συγχύσεως, πρὸς τὰς σκηνὰς τοῦ οὐρανοῦ, ἐν ἀγάπῃ ἀκλινεῖ, ἀσκήσει καὶ ταπεινώσει, βοῶντες· Μῆτερ λιταῖς σου, θραῦσον ἡμῶν τῆς ἁμαρτίας δεσμούς.**

**Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἣν ψάλλομεν τὰ ἑξῆς·**

## Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

**Πάντα ὑπομένειν τὰ δεινά**, καὶ τοῦ μιαροῦ τὰς ἐφόδους, ἐξοστρακίζειν ταχύ, σαῖς εὐχαῖς ἀξίωσον τοὺς σὲ γεραίροντας, καὶ πιστῶς καταφεύγοντας, τῇ σῇ προστασίᾳ, ἀσθενεῖ ἡ κρύπτουσα καλῶς ἐν σώματι, φρόνησιν ἀνδρείαν τῷ ὄντι, καὶ καθυποτάξασα σάρκα, ὢ Ὑπομονή, νοῒ τῷ θείῳ σου.

**Δέσποινα πρόσδεξαι**, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Δι᾽ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν,**
**Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.**
**Ἀμήν.**




